# ΑΝΑΠΛΗΡΩΣΙΣ
## ΤΩΝ ΙΕΡΩΝ ΑΚΟΛΟΥΘΙΩΝ

ΤΟΥ ΤΕ

ΚΑΤΑ ΤΗΝ 4ην ΦΕΒΡΟΥΑΡΙΟΥ ΕΟΡΤΑΖΟΜΕΝΟΥ

ΟΣΙΟΥ

## ΙΣΙΔΩΡΟΥ ΤΟΥ ΠΗΛΟΥΣΙΩΤΟΥ

ΚΑΙ ΤΟΥ

ΚΑΤΑ ΤΗΝ 14ην ΤΟΥ ΜΑΙΟΥ

ΜΑΡΤΥΡΟΣ

## ΙΣΙΔΩΡΟΥ ΤΟΥ ΕΝ ΧΙΩ,

ΣΥΝΤΕΘΕΙΣΩΝ

ΑΙΤΗΣΕΙ ΤΩΝ ΕΠΙΤΡΟΠΩΝ ΤΟΥ, ΚΑΤΑ ΤΟΝ ΛΥΚΑΒΗΤΟΝ,
ΕΠ' ΟΝΟΜΑΤΙ ΤΩΝ ΑΓΙΩΝ ΤΙΜΩΜΕΝΟΥ ΙΕΡΟΥ ΝΑΟΥ

ΥΠΟ

ΤΟΥ ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΑΡΤΗΣ ΣΕΡΑΦΕΙΜ

ΕΝ ΕΤΕΙ 1885

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΓΡΗΓΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ΕΝ ΑΘΗΝΑΙΣ
ΤΥΠΟΓΡΑΦΕΙΟΝ Θ. ΠΑΠΑΛΕΞΑΝΔΡΗ & Α. ΠΑΠΑΓΕΩΡΓΙΟΥ
1885

# ΑΚΟΛΟΥΘΙΑΣ

## ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

## ΙΣΙΔΩΡΟΥ ΤΟΥ ΠΗΛΟΥΣΙΩΤΟΥ.

ΨΑΛΛΟΜΕΝΗΣ ΤΗ 4 ΦΕΒΡΟΥΑΡΙΟΥ

ΤΑ ΕΛΛΕΙΠΟΝΤΑ

ΥΠΟ

ΤΟΥ ΑΡΤΗΣ ΣΕΡΑΦΕΙΜ.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ΕΝ ΑΘΗΝΑΙΣ

1885



Ὁ ὅσιος Ἰσίδωρος ὁ Πηλουσιώτης

# ΑΚΟΛΟΥΘΙΑΣ

ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΙΣΙΔΩΡΟΥ ΤΟΥ ΠΗΛΟΥΣΙΩΤΟΥ

**Ψαλλομένης τῇ 4 Φεβρουαρίου**

ΤΑ ΕΛΛΕΙΠΟΝΤΑ

ΥΠΟ ΤΟΥ

**ΑΡΤΗΣ ΣΕΡΑΦΕΙΜ**

Ἑσπέρας. Εἰς τό, Κύριε ἐκέκραξα. Ἱστῶμεν στίχ 6, καὶ ψάλ. 3 τῆς ἑορτῆς καὶ 3 τοῦ Ἁγίου.

**ἦχος δ'. ὡς γενναῖον ἐν Μάρτυσι.**

Θεωρίαις καὶ πράξεσι, πρὸς Θεὸν ἀνυψούμενος, ἐν βίῳ Ἰσίδωρε διετέλεσας, τῆς θεωρίας ἐπίβασιν, τὴν πρᾶξιν πηξάμενος, καὶ σοφῶς τῶν ὀρεκτῶν, ἀγαπήσας τὸ ἔσχατον· οὗ γενόμενος τῆς ἐφέσεως ἔστης μακαρίου, ἀξιούμενος νῦν τέλους καὶ τρισηλίου ἐλλάμψεως.

Τῇ πλημμύρᾳ τῆς χάριτος καὶ τοῖς ὄμβροις τῶν λόγων σου, καταρδεύεις ἅπαντας τοὺς θεόφρονας· τῆς ἀνωτάτω σοφίας γάρ, κρατῆρι τὸ στόμα σου, ἐπιθεὶς ὡς ἐκ πηγῆς, δαψιλῶς Σὺ ἐξήντλησας καὶ διέδωκας, πανταχοῦ τὰς ἀκτῖνας τῶν δογμάτων, ἐπιστέλλων καὶ διδάσκων, ὅσιε πάτερ Ἰσίδωρε.

Ἐγκρατείᾳ τὸ φρόνημα τῆς σαρκὸς ἐθανά-

τωσας, ζωηφόρον νέκρωσιν ἐνδυσάμενος. καὶ τῆς ψυχῆς τὴν κατάστασιν, πλατύνας Ἰσίδωρε, ἐναργῶς χωρητικὴν, χαρισμάτων τοῦ Πνεύματος ἀπετέλεσας, καὶ δοχεῖον ἐγένου θεοπνεύστων, διδαγμάτων καὶ σοφίας τῆς ὑπὲρ νοῦν ἐνδιαίτημα.

**Δόξα. ἦχος Β'.**

Τὸ ἀσκητικὸν στάδιον γενναιοφρόνως τελέσας, διῆλθες προθύμως δίαυλον τῶν ἀρετῶν· τούς τε τῶν παθῶν ἀποκτείνας θῆρας, ἀλώβητον τὸ κατ' εἰκόνα Θεοῦ διετήρησας. Πνεύματος δὲ ἁγίου πλησθεὶς προφητικῷ ἐνεφορήθης χαρίσματι, Πάτερ Ἰσίδωρε ἁγιώτατε. Καὶ νῦν τῷ θρόνῳ ἐν οὐρανοῖς τοῦ Ὑψίστου παριστάμενος, πρέσβευε δεόμεθά Σου ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Καὶ νῦν. Τῆς ἑορτῆς.*

13 Εἰς τὴν λιτὴν ψάλ. Ἰδιόμελα.

**ἦχος Β'.**

Ταῖς φωτοβόλοις ἀκτῖσι τοῦ Πνεύματος ἐμφορούμενος, ἀξιάγαστε Ἰσίδωρε, τὸν Κόσμον φωταγωγεῖς τῇ πληθύϊ τῶν θαυμάτων Σου, διασκεδάζων δεινῶν παντοίων σκο-



τόμαιναν Πρέσβευε πανόσιε Χριστῷ τῷ Θεῷ, ὃν ἐκ ψυχῆς ἐπόθησας, ὑπὲρ ἡμῶν τῶν τελούντων τὴν φωταυγῆ καὶ πανεύφημον μνήμην σου.

**ἦχος. Πλ. β'.**

Ἐκ παίδων τῷ Θεῷ ἀνετέθης, ὁσιώτατε Ἰσίδωρε, καὶ ἐν Πηλουσίῳ ἀνελθὼν μοναστικῶς αὐτῷ εὐηρέστησας· διὸ καὶ τῶν στεφάνων τὸ γέρας ἐν Οὐρανοῖς ἐπαξίως παρ' αὐτοῦ ἀπείληφας· Αὐτὸν Ἱκέτευε, Πάτερ ἁγιώτατε, ὑπὲρ τῶν πιστῶς γεραιρόντων καὶ τὴν σὴν μνήμην ἐπιτελούντων, ῥυσθῆναι παθῶν καὶ συμφορῶν καὶ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Δόξα ἦχος ὁ αὐτός.**

Πνεύματος ἁγίου πλησθεὶς, Ἰσίδωρε πανεύφημε, κατέστρεψας πάσας τὰς ἐπινοίας τῶν δαιμόνων· Τῷ Σταυρῷ γὰρ ὁπλισθεὶς κἂν τούτῳ θαρρῶν, παντοίας νόσους λιταῖς σου θεραπεύεις ψυχῶν τε καὶ σωμάτων Πρέσβευε δεόμεθα τῷ Σωτῆρι καὶ Θεῷ, ὑπὲρ εἰρήνης τοῦ κόσμου καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

*Καὶ νῦν τῆς ἑορτῆς*

**Εἰς τὸν Στίχον ψάλ. Προσόμοια**

**ἦχος ά. τῶν Οὐρανίων Ταγμάτων.**

Σὺ τῷ Δεσπότῃ τῶν ὅλων ὡς παριστάμενος καὶ πολλὴν παρρησίαν πρὸς αὐτὸν κεκτημένος, πάντων τῶν τελούντων μέμνησο νῦν τὴν πανεύφημον μνήμην σου, τοῦ ἐκ παθῶν καὶ κινδύνων καὶ πειρασμῶν, ῥυσθῆναι πάτερ Ἰσίδωρε.

**Στίχ. Τίμιος ἐναντίου Κυρίου**

Ὁ ποιητὴς καὶ Δεσπότης καὶ πάντων Κύριος, Σὲ τῇ ἀφθόνῳ δόξῃ δωρεῶν οὐρανίων, ἐδόξασεν ἐν Κόσμῳ καὶ τῶν ψυχῶν Μοναστῶν τε παρέσχετο, τὴν προστασίαν καὶ πάντων τῶν εὐσεβῶς γεραιρόντων σε Ἰσίδωρε.

**Στίχ. Καυχήσονται Ὅσιοι.**

Σταυροῦ τὸν θεῖον ἀγῶνα ἐν τῇ ἀσκήσει σου, διηνυκῶς τῆς νίκης, τοὺς στεφάνους ἐδέξω, Ἰσίδωρε ἀξίως, μεθ᾽ ὧν εἰσελθὼν εἰς τὰ ἄνω Βασίλεια, σὺν τοῖς ὁσίοις παρίστασαι τῷ Χριστῷ καὶ πρεσβεύεις ὑπὲρ τῶν τιμώντων σε.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



**Δόξα, ἦχος, πλ. β΄.**

Τῇ τοῦ ζωοδότου Χριστοῦ ἀγάπῃ ὄντως τρωθεὶς, εἰς τὸ Πηλούσιον ἀνῆλθες ὄρος, Πανόλβιε Ἰσίδωρε, καὶ ἐκτήσω τῇ ἀσκήσει καὶ τῷ μονήρει βίῳ, ποικίλα χαρίσματα, νόσων καὶ παντοίων δεινῶν ἀναδειχθεὶς ἀκέστωρ, ἀρωγῇ τοῦ Σωτῆρος, πρέσβευε αὐτῷ ἐκτενῶς, ὅσιε Πάτερ, ὑπὲρ ἡμῶν τῶν ἀνυμνούντων σου τὴν φωτοφόρον καὶ θείαν πανήγυριν.

*Καὶ νῦν τῆς ἑορτῆς.*

**Ἀπολυτίκιον ἦχος Γ΄. Θείας πίστεως.**

Μέγας γέγονας Ποιμὴν θεόφρον, καὶ τὰ πρόβατα τὰ ἐν ἐρήμῳ τὰ λογικὰ τοὺς ὁσίους ἐποίμανας, καθοδηγήσας εἰς μάνδραν οὐράνιον καὶ διαθρέψας αὐτοὺς τροφῇ θείας πίστεως. Πάτερ ὅσιε Ἰσίδωρε Θεοδόξαστε Ἱκέτευε Χριστὸν ὑπὲρ τῶν δούλων σου.

**Ἕτερον, ἦχος πλ. ά. Τὸν συνάναρχον**

Ἀγελάτης ἐδείχθεις τοῦ Ποιμενάρχου Χριστοῦ, Μονοτρόπων τὴν Ποίμνην, πάτερ Ἰσίδωρε, πρὸς τὴν Μάνδραν ὁδηγῶν τὴν ἐπουράνιον, ἐκεῖθεν δὲ ἀσκητικὸν τὸν βίον ὄντως μυηθεὶς, αὐτοῖς ἐμύησας τοῦτον· νῦν δὲ ὁσί-

οις χορεύων ἐν οὐρανοῖς ἡμῶν μνημόνευε.

*Καὶ τῆς ἑορτῆς*

## Εἰς τὸν Ορθρον

Μετὰ τὴν ά. Στιχ. Κάθισμα

**ἦχος δ'. Ἐπεφάνης σήμερον**

Ἑορτάζει σήμερον πιστῶν χορεία, ἑορτὴν πανεύφημον, κἂν τῇ Κοιμήσει σου πιστῶς, καὶ Σὲ γεραίρει Ἰσίδωρε, Σύ μου ἡ δόξα ὑπάρχεις κραυγάζουσα.

*Δόξα καὶ νῦν. Τῆς ἑορτῆς.*

Μετὰ τὴν β'. Στιχολ. Κάθισμα

**ἦχος, δ'. Ἐπεφάνης σήμερον**

Ἀσκητῶν προΐστασο σκέπων φρουρῶν τούτους Πάτερ, καὶ ἐκ πάσης θλίψεως. σώζων πρεσβείαις σου θερμαῖς, τοὺς μετὰ πόθου τιμῶντάς σε, κλέος ὁσίων Ἰσίδωρε ὅσιε.

*Δόξα καὶ νῦν. Τῆς ἑορτῆς*

Μετὰ τὸν Πολυέλεον Κάθισ.

**ἦχος δ'. ἐπεφάνης σήμερον**

Τῷ φωτὶ πυρσούμενος τῷ ἀπροσίτῳ, ὡς



ἀστὴρ ἐξέλαμψας ἐν Πηλουσίῳ διδαχαῖς, πάντας αὐγάζων Ἰσίδωρε, τοὺς μετὰ πόθου ἀεὶ προσιόντας σοι.

Δόξα, καὶ νῦν. Τῆς ἑορτῆς

Οἱ Ἀναβαθμοὶ τὸ ά. Ἀντίφωνον τοῦ δ'. ἤχου

**Προκείμενον ἦχος δ'.**

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

Στίχος. Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκεν ἡμῖν.

Πᾶσα πνοή. καὶ τὸ Εὐαγγέλιον. (Ζήτει εἰς τὴν 17 Ἰανουαρίου. Μετὰ τὸν Ν!

Δόξα. Ταῖς τοῦ Σοῦ ὁσίου... Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου καὶ τὸ Ἰδιόμελον· ἦχος πλ. β'. Πνεύματος ἁγίου πλησθεὶς... (ὅρα εἰς τὴν λιτήν).

Κανόνα ζήτει εἰς τὸν μηναῖον ἢ εἰς ὅσιον

Μετὰ τὴν γ', ᾠδὴν Κάθισμα.

**ἦχος πλ. ά. Τὸν συνάναρχον Λόγον**

Τὰ ἐπίκηρα πάντα ἀπαρνησάμενος. καὶ τὸν βίον Ἀγγέλων κατασπασάμενος, τῇ ἀσκήσει τὴν ψυχὴν κατεφώτισας, καὶ θαυμάτων τὴν ἰσχὺν ἐδέξω Πάτερ ἐκ Θεοῦ Ἰσίδωρε Θεοφόρε, ὑπὲρ ἡμῶν αὐτῷ πρεσβεύων τῶν εὐσεβῶς γεραιρόντων σε.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

*Δόξα καὶ νῦν Τῆς ἑορτῆς*

Ἀφ' ἕκτης ᾠδῆς. Κοντάκιον.

**ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.**

Καταφυτεύσας ἀρετῶν θεῖον κῆπον καὶ τῶν δακρύων ταις ῥοαῖς καταρδεύσας, ὡς τῆς ζωῆς Ἰσίδωρε τοῦ Ξύλου τυχών, ῥῦσαι ἡμᾶς ἅπαντας ταπεινοὺς τοὺς οἰκέτας, πάσης περιστάσεως νόσων τε καὶ κινδύνων, τοὺς σὲ τιμῶντας, Σὲ γὰρ πρὸς Θεὸν ἕτοιμον πρέσβυν ἀεὶ προβαλλόμεθα.

Ὁ Οἶκος

Τῆς τοῦ Δεσπότου θείας φωνῆς ἐπακούσας, τῶν αὐτοῦ θείων ἐντολῶν ὀπαδὸς ἐγένου, καὶ παριδὼν φροντίδας ἐγκοσμίους καὶ νοερῶς ἐν Πηλουσίῳ τῷ Θεῷ ὁμιλῶν, γνώσεων χάριν εἴληφας καὶ θαυμάτων τὴν ἐνέργειαν. Δέχθητι οὖν Πάτερ, τὰς ταπεινὰς ἡμῶν δεήσεις καὶ προσάγαγε τῷ ὑψίστῳ Θεῷ Σὲ γὰρ πρὸς αὐτὸν πρέσβυν ἕτοιμον ἀεὶ προβαλλόμεθα.

**Τῇ Δ'. τοῦ Φεβρουαρίου Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ισιδώρου τοῦ Πηλουσιώτου.**

**Ταῖς αὐτοῦ ἁγίαις πρεσβείας, Χριστὲ ὁ Θεὸς ἐλέησον καὶ σῶσον ἡμᾶς.**



Ἐξαποστηλάριον. Γυναῖκες ἀκουτίσθητε.

Ἱδρῶσι τῆς ἀσκήσεως, παθῶν τὴν φλόγα ἔσβεσας, καὶ ἀπαθείας πρὸς ὕψος, ἀναδραμὼν Θεοφόρε, τῷ τοῦ Χριστοῦ νῦν βήματι, παρέστης ἀγαλλόμενος, ὑπὲρ ἡμῶν δεόμενος, Ἰσίδωρε τῶν τελούντων τὴν παναγίαν σου μνήμην.

*Καὶ τῆς Ἑορτῆς*

Εἰς τοὺς Αἴνους· ἱστῶμεν στίχ. δ'. καὶ

ψάλ. Στιχηρὰ προσόμοια τοῦ ἁγίου

**Ἦχος δ. Ὡς γενναῖον ἐν Μάρτυσι**

Τῶν ὁσίων τοῖς τάγμασι καὶ Ἀγγέλων στρατεύμασιν, ὅσιε Ἰσίδωρε ἀγαλλόμενος, καὶ οὐρανόθεν δεχόμενος τὴν αἴγλην λαμπρότητος καὶ τοῦ Πνεύματος φωτὶ τὴν ψυχὴν ἐλλαμπόμενος, τοὺς τὴν μνήμην σου τὴν ἁγίαν τελοῦντας, ἐκ παντοίων πειρασμῶν τε καὶ κινδύνων, λιταῖς σου θείαις ἀπάλλαξον.

Δὶς

Τὴν ψυχὴν σὺν τῷ σώματι ταῖς πανσέπτοις ἐκόσμησας ἀρεταῖς Ἰσίδωρε, καὶ συνόμιλος Νόων τῶν θείων γεγένησαι, γηΐνων δεικνύμενος Σὺ ἀμέτοχος τερπνῶν, τῇ ἀγάπῃ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

τοῦ Πλάστου σου· ὃν ἱκέτευε, ἐκ παντοίων κινδύνων λυτρωθῆναι τοὺς πιστῶς σε εὐφημοῦντας καὶ τὴν σὴν μνήμην γεραίροντας.

Ἐπιβὰς Σὺ τῆς κρείττονος θεωρίας Ἰσίδωρε, γεηρὰ ἠλόγησας ὡς ἐπίκηρα, καὶ περιῶν ἐν τῷ σώματι παρεῖδες, καὶ ἄϋλον πολιτείαν ἐπὶ γῆς ἐπεσπάσω Πανόσιε, ἀρωγῇ Θεοῦ ὁδηγούμενος, ὅθεν Μοναζόντων ὁδηγός τε ἀνεδείχθης, κλέος καὶ τύπος πανάριστος.

**Δόξα Ἦχος πλ. β'.**

Ἐξήνθησέ σε ὄρος τὸ Πηλούσιον ὥς τι ῥόδον εὔοσμον, τὸν κόσμον εὐωδιάσαν ἐξ ἐναρέτων πράξεων καὶ ἐκ θεωρητικῆς σοφίας. τῇ δὲ τοῦ λόγου καὶ τοῦ μονήρους βίου, τῇ τε τῶν ἔργων καὶ τῆς Πίστεως εὐδοκιμήσει, Χριστῷ τῷ Θεῷ ὄντως εὐηρέστησας, τῷ ἐν ἀγκάλαις πρεσβυτικαῖς βασταχθέντι ποτέ. Αὐτῷ δεόμεθά σου πρέσβευε ἐκτενῶς, Ἰσίδωρε πανσεβάσμιε, ἀξίους καὶ ἡμᾶς γενέσθαι εὐαρεστεῖν αὐτῷ καὶ ἀπολαῦσαι σὺν σοὶ τῆς Βασιλείας τῶν οὐρανῶν.

*Καὶ νῦν. Τῆς Ἑορτῆς*

Δοξολογία Μεγ. καὶ ἀπόλυσις

Εἰς τὴν λειτουργίαν. Ἀπόστολον καὶ Εὐαγγέλιον



**Ζήτει τὴν ιά. Ἰανουαρίου**

Εἰς τὰ Δίστυχα ψαλ. Μεγαλυνάριον,

Τὸν τῶν Μονοτρόπων ὑπογραμμὸν καὶ τοῦ Πηλουσίου πολιστήν τε καὶ οἰκιστὴν λάτριν τοῦ Δεσπότου καὶ τῶν πιστῶν προστάτην, Ἰσίδωρον τὸν θεῖον πάντες τιμήσωμεν.

Κοινωνικόν. Εἰς μνημόσυνον. Εἴδομεν τὸ φῶς. καὶ Ἀπόλυσις.

ΤΕΛΟΣ.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

# ΑΚΟΛΟΥΘΙΑΣ

## ΤΟΥ ΑΓΙΟΥ ΜΑΡΤΥΡΟΣ

## ΙΣΙΔΩΡΟΥ ΤΟΥ ΕΝ ΧΙῼ

ΨΑΛΛΟΜΕΝΗΣ Τῌ 14 ΜΑΙΟΥ

ΤΑ ΕΛΛΕΙΠΟΝΤΑ

ΥΠΟ

ΤΟΥ ΑΡΤΗΣ ΣΕΡΑΦΕΙΜ.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ΕΝ ΑΘΗΝΑΙΣ

1885

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



ΜΑΙΟΥ ΙΔ΄.

ΜΝΗΜΗ ΤΟΥ ΑΓΙΟΥ ΜΑΡΤΥΡΟΣ

# ΙΣΙΔΩΡΟΥ ΤΟΥ ΕΝ ΧΙΩ

## ΑΚΟΛΟΥΘΙΑ ΣΥΝΤΕΘΕΙΣΑ

ΥΠΟ ΤΟΥ

ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΑΡΤΗΣ ΣΕΡΑΦΕΙΜ

Ἑσπέρας. Εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους 6 καὶ ψαλ. 3 τῆς ἑορτῆς καὶ τοῦ Μάρτυρος 3.

**ἦχος δ΄. ἔδωκας σημείωσιν.**

Ζήλῳ πυρπολούμενος τῆς εὐσεβείας Ἰσίδωρε, ὑπεισῆλθες τὸ στάδιον, θερμῶς τῆς ἀθλήσεως, καὶ βραβεῖον νίκης, Μάρτυς ἐπηνέγκω κατὰ τῆς πλάνης διδαχαῖς, θεοπειθέσιν ὡραϊζόμενος. Σταυροῦ δὲ κρατυνόμενος τῇ πανοπλίᾳ κατέβαλες τὸν ἀλάστορα τύραννον, νικηφόρος δεικνύμενος.

Μάστιξι ξεόμενος, τῆς δερματίνης νεκρώσεως, τοὺς χιτῶνας ἐκδέδυσαι στολὴν ἀφθαρσίας δὲ καὶ λαμπρὰν ἐσθῆτα περιβεβλημένος, θᾶττον τὸ ξύλον τῆς ζωῆς ἀποκατέστης ζωὴν δρεψάμενος, τὴν ὄντως ἀκατάλυ-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

τον καὶ τὴν ἀγήρω Ἰσίδωρε· ἧς περ νῦν ἐμφορούμενος τοὺς ὑμνοῦντάς σε εὔφρανον.

Ὄντως ὑπερβέβηκε τὰ Ἰσιδώρου παλαίσματα, τῶν ἐπαίνων τὴν σύνθεσιν καὶ λόγων τὴν ἔννοιαν· ὁ στερρὸς γὰρ πύργος τῆς θεοσεβείας, σῶμα θνητὸν καὶ παθητὸν, ὡς τὸ ἡμέτερον περικείμενος, πυρός τε κατετόλμησε καὶ τῶν πληγῶν κατεφρόνησεν, ὡσεὶ πάσχων ἐν σώματι ἀλλοτρίῳ ὁ ἔνδοξος.

**Δόξα, ἦχος, πλ. β΄.**

Δεῦτε φιλομαρτύρων ὁ δῆμος συνελθόντες σήμερον ἐν τῷ πανσέπτῳ Ναῷ τοῦ πανενδόξου μάρτυρος Ἰσιδώρου τοῦ ἐν Χίῳ ὑμνῳδιῶν κάλλεσιν αὐτὸν καταστέψατε, ὅτι ὁ ἔνδοξος οὗτος Μάρτυς, διὰ ποικίλων βασάνων, ἀπὸ γῆς μεθιστάμενος εἰς τὸν Οὐράνιον Νυμφῶνα, καὶ παρρησίᾳ πολλῇ Χριστῷ παριστάμενος ἱλασμὸν ἡμῖν δοθῆναι πρεσβεύει ἐκτενῶς, τοῖς μετὰ πόθου ἐπιτελοῦσι, τὴν πάντιμον τούτου καὶ ἔνδοξον Ἄθλησιν

*Καὶ νῦν. Τῆς ἑορτῆς.*

Εἰς τὴν λιτήν.

**ἦχος Α΄.**

Μετὰ Μαρτύρων καὶ τῶν ἄνω Τάξεων συνηριθμήθης ἔνδοξε, κόσμον καὶ τὰ τοῦ κόσμου περιφρονήσας ἀγαθὰ, δι᾽ ἀγάπην τοῦ παμβασιλέως Χριστοῦ, Ἰσίδωρε παναοίδιμε· αὐτῷ δεόμεθά σου πρέσβευε ἐκτενῶς, δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.



**ἦχος Β΄.**

Δεῦτε φιλομάρτυρες πάντες καὶ εὐσεβείας ἐρασταὶ, δεῦτε ἑορτάσωμεν πόθῳ Ἰσιδώρου τοῦ ἐν Χίῳ τὴν ἐπέτειον πανήγυριν. Οὗτος γὰρ κατὰ τῶν τυράννων ἆθλον τῆς νίκης ἄρας μυκτηρίσας τε στερρῶς τὰ τούτων ἀσεβῆ διδάγματα, καὶ πρὸς Χριστοῦ ἐν οὐρανοῖς ἀμαράντῳ στεφθεὶς διαδήματι, πρεσβεύει ἐκτενῶς ὑπὲρ ἡμῶν, τῶν πιστῶς ἐκτελούντων τὴν παναοίδιμον μνήμην αὐτοῦ.

**Δόξα. ἦχος πλ. δ΄.**

Ἐθαυματούργησε Χριστὲ τοῦ Σταυροῦ σου ἡ δύναμις. Ὅτι καὶ ὁ ἐν Χίῳ Μάρτυς Ἰσίδωρος, ἀθλητικὸν ἀγῶνα ἠγωνίσατο· ὅθεν τὰ τοῦ κόσμου ἀπορριψάμενος τερπνὰ, γενναίως τῶν τυράννων τὸ θράσος κατέβαλε· διὸ καὶ στεφάνῳ πρὸς Χριστοῦ κοσμηθεὶς νικητικῷ, πρεσβεύει ἀεὶ ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΔΩΡΗΤΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

*Καὶ νῦν. Τῆς ἑορτῆς.*

Εἰς τὸν Στίχον. ἦχος δ'.

**Ὡς γενναῖον ἐν Μάρτυσιν.**

Ὡς γενναίως ἀθλήσαντα, ὡς ἀοίδιμον Μάρτυρα ὡς τὴν πλάνην λύσαντα τοῦ ἀλάστορος, καὶ τὴν τυράννων θρασύτητα ἀποδείξαντα μηδὲν, ἀνυμνοῦμέν σε ἔνδοξε, καὶ χωρήσαντα Παραδείσου Ἰσίδωρε, πρὸς πλάτος θεοθέντα καὶ τυχόντα τῆς Οὐρανίου μεθέξεως.

Στίχ. Θαυμαστὸς ὁ Θεός.

Ὡς γενναῖον ἐν Μάρτυσιν, ὡς Ἀγγέλων συνόμιλον, ὡς Σταυροῦ τῇ χάριτι διαλάμψαντα, ὡς τὸν Χριστὸν ἀγαπήσαντα, ἐχθρὸν δὲ αἰσχύναντα, ὡς ἀθλήσαντα στερρῶς καὶ πολύπλοκα βάσανα ὑπομείναντα, σὲ ὑμνοῦμεν Ἰσίδωρε ἐν πίστει καὶ τὴν σὴν ἐπιτελοῦμεν Μνήμην, Χριστὸν μεγαλύνοντες

Στίχ. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ

Καὶ ἐν κόσμῳ περίδοξος καὶ ἐν Μάρτυσιν ἔνδοξος, ἀθλητὰ Ἰσίδωρε γνωριζόμενος, ταῖς Οὐρανίαις Δυνάμεσι συνὼν καὶ τοῖς Μάρτυσι τῷ Σωτῆρι καὶ Θεῷ μετὰ στέφους παρίστασαι· ὅθεν πόθῳ Σου τοὺς ἀγῶνας ἐν πίστει εὐφημοῦμεν καὶ τὴν Μνήμην ἐκτελοῦμεν Θεὸν τῶν ὅλων δοξάζοντες.



**Δόξα Ἦχος πλ. α'.**

Σταυρὸν ὡς ὅπλον κραταιὸν ἐν ταῖς χερσὶ κατέχων, Ἰσίδωρε μακάριε, τὴν πίστιν δὲ ὡς θώρακα, ἐλπίδα τε ὡς θυρεὸν καὶ ἀγάπην ὡς τόξον, ὡς ἄσαρκος τὰς τῶν τυράννων ὑπέμεινας τιμωρίας, καὶ τὰς τῶν δαιμόνων ἐπηρείας γενναίως κατέστρεψας, τὴν Κάραν δὲ ἀποτμηθείς, στεφανηφόρος ἐν Οὐρανῷ μετ' Ἀγγέλων χορεύεις, πρεσβεύων ἀεννάως Χριστῷ ὑπὲρ τῶν ψυχῶν ἡμῶν,

*Καὶ νῦν. Τῆς ἑορτῆς.*

**Ἀπολυτίκιον ἦχος Γ'. Θείας πίστεως.**

Ἀναπόσπαστον πλοῦτον ἡγήσω τὴν σωτήριον καὶ θείαν πίστιν, διατηρῶν τὴν πατρῴαν εὐσέβειαν, καὶ τῷ Σωτῆρι κατ' ἴχνος ἑπόμενος, κατεπλουτίσθης, Ἰσίδωρε ἔνδοξε, θείοις χάρισιν, αὐτὸν ἐκτενῶς ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

*Καὶ τῆς Ἑορτῆς.*

Εἰς τὸν Ορθρον

Μετὰ τὴν ά. Στιχ. Κάθισμα

**ἦχος δ'. Ἐπεφάνης σήμερον**

Εὐφροσύνης πρόξενος ἡμῖν ἐπέστη, ἡ φωσφόρος σήμερον τοῦ Ἰσιδώρου ἑορτή, ὃν ἀνυμνοῦντες δοξάζομεν τὸν ἐν ὑψίστοις Σωτῆρα καὶ Κύριον.

*καὶ τῆς ἑορτῆς.*

Μετὰ τὴν β'. Στιχολ. Κάθισμα

**ἦχος, δ'. Ταχὺ προκατάλαβε**

Ἡ ἔνδοξος μνήμη σου, Μάρτυς Ἰσίδωρε, ἐφαίδρυνε σήμερον τὴν Ἐκκλησίαν Χριστοῦ καὶ πάντας συνήθροισεν, ᾄσμασιν ἑορτίοις εὐφημεῖν σε ἀξίως, ὡς θεῖον. Ἀθλοφόρον καὶ ἐχθρῶν καταπέλτην διὸ ταῖς σαῖς πρεσβείαις ῥῦσαι ἡμᾶς πειρασμῶν.

*Καὶ τῆς ἑορτῆς*

Μετὰ τὸν Πολυέλαιον Κάθισμα ἦχος δ'.

**Ἐπεφάνης σήμερον**

Εὐσεβῶν προΐστασαι, σκέπων ἀεὶ τούτους Μάκαρ, καὶ ἐκ πάσης θλίψεως σώζων πρεσβείαις σου θερμαῖς, πρὸς τὸν Σωτῆρα καὶ Κύριον, κλέος Μαρτύρων Ἰσίδωρε ἔνδοξε.



*Καὶ τῆς ἑορτῆς*

**Τὸ ά Ἀντίφωνον τοῦ δ'. ἤχου Προκείμ. ἦχος δ'.**

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ. Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ.

Πᾶσα πνοή... καὶ τὸ Εὐαγγ. Ζήτει ἐν ὄρθρῳ. Ἀπριλίου 23.

Ὁ Ν'. Δόξα Ταῖς τοῦ Ἀθλοφόρου.

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Στίχ. Ἐλέησόν με ὁ Θεὸς

Καὶ τὸ Ἰδιόμελον· ἦχος β'. Δεῦτε φιλομάρτυρες πάντες. Ζήτει εἰς τὴν Λιτήν,

Σῶσον ὁ Θεὸς τὸν λαόν σου κ.τ.λ.

Οἱ Κανόνες τῆς ἑορτῆς καὶ τοῦ Ἁγίου.

Ζήτει εἰς τὸ Μηναῖον ἢ εἰς Μάρτυρα

Μετὰ τὴν Γ'. ᾠδήν. Κάθισμα ἦχος δ'.

**Ἐπεφάνης σήμερον.**

Ὡς ἀστὴρ ἀνέσπερος καὶ μετὰ πότμον, σῶν θαυμάτων λάμψεσι φωτὸς πληροῖς διαπαντὸς τοὺς τὴν σεπτήν σου γεραίροντας, μνήμην Θεόφρον Ἰσίδωρε ἔνδοξε

*Καὶ τῆς ἑορτῆς*

Ἀφ Ἕκτης. Κοντάκιον ἦχος γ'.

Ἑορτάζει σήμερον ἡ Ἀθηνῶν κλεινὴ Πό-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

λις, ἑορτὴν ὑπέρφωτον τῆς ἐτησίου σου μνήμης, ἅπαντας προσκαλουμένη τοὺς φιλεόρτους· χαίρει γὰρ ὡς κεκτημένη θησαυρὸν μέγαν, τὸν θαυμάσιον Ναόν σου, Μάρτυς Ἰσίδωρε ἀξιάγαστε.

**Ὁ Οἶκος.**

Τὸν δόντα τὴν ψυχὴν αὐτοῦ ὑπὲρ τῆς τοῦ Κόσμου σωτηρίας, Κύριον ἡμῶν καὶ Θεὸν Ἰησοῦν Χριστόν, ποθῶν ἐκ καρδίας ὁ θεῖος Μάρτυς, ἔσπευσε τοῦ θανεῖν ὑπὲρ αὐτοῦ· ζήλου γὰρ ἐνθέου πλησθείς, προσήγαγεν αὐτὸς ἑαυτὸν εἰς τοῦ Μαρτυρίου τὸ στάδιον. Τοῦτον οὖν καὶ ἡμεῖς εὐφημιῶν στέμμασιν ἀναδήσωμεν, ὡς θερμὸν ἡμῶν προστάτην, ὡς Μάρτυρα ἔνδοξον Χριστοῦ, καὶ ὡς ὑπὲρ ἡμῶν ἀεὶ πρεσβεύοντα, πίστει καὶ πόθῳ αὐτῷ ἐκβοῶντες. Χαίροις Μάρτυς Ἰσίδωρε ἀξιάγαστα.

Τῇ ΙΔ'. τοῦ Μηνὸς Μαΐου, Μνήμη τοῦ ἁγίου καὶ ἐνδόξου Μάρτυρος Ἰσιδώρου.

τοῦ ἐν Χίῳ.

Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις

**Αἱ Καταβασίαι τῆς ἑορτῆς**

Ἡ Τιμιωτέρα στιχολογεῖται

Ἐξαποστηλάριον. Γυναῖκες ἀκουτίσθητε.

Ἐνθέως ἐπορφύρωσας διὰ ἀγώνων ἔνδοξε



τὴν τοῦ Χριστοῦ Ἐκκλησίαν, τοῖς τῶν αἱμάτων του ῥείθροις· ἀπάτην δὲ ψυχόλεθρον εἰδωλικὴν κατέσβεσας, Ισίδωρε πανένδοξε, καὶ νῦν πρεσβεύων μὴ παύσῃ ὑπὲρ εἰρήνης τοῦ Κόσμου.

*Καὶ τῆς ἑορτῆς*

Εἰς τοὺς Αἴνους

Ψάλ. τρία τῆς ἑορτῆς καὶ τρία τοῦ Ἁγίου

**ἦχος ά. τῶν Οὐρανίων Ταγμάτων.**

Ποθήσας μάκαρ τὰς θείας τῶν Οὐρανῶν καλλονάς, τὰς ἐπικήρους δόξας ἐβδελύξω εἰς τέλος· διὸ καὶ ἰσαγγέλως ἐπὶ τῆς γῆς διανύσας τὸν βίον σου, τὰς ἀνυποίστους κολάσεις τῶν δυσμενῶν στερῶς ἔφερες Ἰσίδωρε.

Ἐν ταῖς σκηναῖς τῶν Ἀγγέλων χορεύων ἔνδοξε, καὶ ἀπολαύων δόξης ἀϊδίου ἐν Πόλῳ, Ἰσίδωρε τρισμάκαρ, ῥῦσαι ἡμᾶς, ταῖς πρὸς Θεὸν Ἱκεσίαις σου ἀπὸ παντοίων κινδύνων καὶ πειρασμῶν, τοὺς ἐν πίστει ἀνυμνοῦντάς σε.

Ἀστὴρ ἀνέσπερος ὤφθης, Μάρτυς Ἰσίδωρε, τοῖς ἐν τῷ σκότει λάμπων, καὶ τοὺς τῆς ἀπιστίας τῷ ζόφῳ κρατουμένους φωτίσας ταῖς σαῖς θαυμασταῖς παραινέσεσι καὶ ἐν σταδίῳ ἀθλήσας ὑπὲρ Χριστοῦ νίκης εἴληφας τὸν στέφανον.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

**Δόξα ἦχος β'.**

Ὡς ἀλάβαστρον μύρου προσενήνοχας τὸ τίμιον αἷμά σου τῷ Δεσπότῃ σου Χριστῷ, Ἰσίδωρε Μάρτυς Ἀθλοφόρε ἀήττητε· ἀντάμειψιν δὲ εἴληφας, παρ' αὐτοῦ ἐν Οὐρανοῖς, νίκης ἀμάραντον στέφανον. Ὅθεν καὶ Ἰαμάτων τὴν χάριν ἐκομίσω, τοῦ ἰᾶσθαι τὰς νόσους τῇ ἐκτενεῖ πρὸς Θεὸν ἱκεσίᾳ σου, τῶν ἐπικαλουμένων τὴν θείαν σου ἀντίληψιν· αἴτησε δεόμεθα, Ἀθλητὰ πανεύφημε δωρηθῆναι ἡμῖν τοῖς πόθῳ τιμῶσί σε ἱλασμὸν καὶ τὸ μέγα ἔλεος.

*Καὶ νῦν. Τῆς ἑορτῆς.*

Δοξολογία Μεγ. καὶ ἀπόλυσις

Εἰς τὴν λειτουργίαν. Ἀπόστολον καὶ Εὐαγγέλιον.

**Ζήτει Σεπτεμβρίου 2.**

Κοινωνικόν. Εἰς μνημόσυνον κτλ. Μεγλυνάριον.

Φύλαττε καὶ σκέπε ταῖς σαῖς εὐχαῖς Ἰσίδωρε Μάρτυς, τοὺς τιμῶντάς σε εὐλαβῶς, καὶ ῥῦσαι κινδύνων καὶ πάσης ἄλλης βλάβης, ταῖς πρὸς Θεὸν εὐθέοις σου παρακλήσεσι.

ΤΕΛΟΣ.